τοῦ χρυσολωρᾶ σύγκρισις παλαιᾶς καὶ νέας ῥώμης

Ἄριστε βασιλεῦ. ἃ μὲν ἔδει διὰ πολλῶν, πρὸς τὸ σὸν κράτος ἀνενεγκεῖν, ἐν ἄλλοις γέγραφα. ἃ καὶ αὐτά, εἰκὸς ἀφίξεσθαι μετὰ τῶν παρόντων. μᾶλλον δὲ πολλὰ μὲν πρότερον ἐντεῦθεν γέγραφα, οὐκ ὀλίγα δὲ εὐθὺς πρὸ τούτων. ἔδοξε δὲ ὅμως καὶ ταῦτα προσθεῖναι, ὧν δοκῶ οὐχ ἥκιστα ἕνεκεν· ἣν οὐ μικρὰν οἶδα καρπούμενος, ἐκ τοῦ τοῖς ἐμοῖς λόγοις, πρὸς τὴν σὴν θειότητα ἀναφέρειν. ὕλην δὲ τῶν παρόντων λόγων, ἀπὸ τῆς πόλεως ταύτης λήψομαι. ἥν, πρότερον μὲν, ἀπὸ τῶν ἱστορουμένων περὶ αὐτῆς ἐθαύμαζον. νῦν δὲ ἀπ' αὐτῆς τῆς ὄψεως, γενέσθαι θαυμασιωτέραν, ἢ ὥστ' αὐτὴν ἁπλῶς εἰκάσειν ἀπὸ τῶν λεγομένων περὶ αὐτῆς, κρίνω. καίτοι, εἴρηται μὲν ἀληθῶς, μέγιστα περὶ αὐτῆς. οὐ μόνον, παρὰ τῶν τῇ πατρίῳ φωνῇ ταύτην συγγεγραφότων, ἀλλ' ἤδη καὶ παρὰ τῶν ἡμετέρων σχεδὸν πάντων, καὶ τῶν ἐλλογίμων, ὅσοι κατ' αὐτὴν γεγόνασιν. ὥστε τοῖς μὲν, λόγους ὅλους, τοῖς δὲ βιβλία ὡς οἶδα, ἐγκώμια αὐτῆς καταλιπεῖν. ἄλλοι δὲ ἐν βραχέσι, μέγιστα περὶ αὐτῆς εἰρήκασιν. οἷον καὶ τὸ τοῦ σοφιστοῦ ἐκείνου, τοῦ σοὶ πάνυ φίλου καὶ οἰκείου. ὅπερ ἐν ὀλίγῳ μέγιστον ἐκεῖνος, ἐν ἐπιστολῇ πρός τινα φησί

BIBLIOTECA MEDICEA LAURENZIANA FIRENZE